ὅμοιον δὲ καὶ ὅτι ἐν τοῖς ἱεροῖς οἱ πτωχοὶ καὶ ᾄδουσι καὶ ὀρχοῦνται· καὶ ὅτι τοῖς φυγάσιν ἔξεστιν οἰκεῖν, ὅπου ἂν θέλωσιν· ὅτι γὰρ τοῖς δοκοῦσιν εὐδαιμονεῖν ὑπάρχει ταῦτα, καὶ οἷς ὑπάρχει ταῦτα, δόξαιεν ἂν εὐδαιμονεῖν. διαφέρει δὲ τῷ πῶς· διὸ καὶ εἰς τὴν ἔλλειψιν ἐμπίπτει. ἄλλος, παρὰ τὸ ἀναίτιον ὡς αἴτιον· οἷον τῷ ἅμα, ἢ μετὰ τοῦτο γεγονέναι· τὸ γὰρ μετὰ τοῦτο, ὡς διὰ τοῦτο λαμβάνουσι, καὶ μάλιστα οἱ ἐν ταῖς πολιτείαις· οἷον ὡς ὁ Δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν αἰτίαν· μετ᾽ ἐκείνην γὰρ συνέβη ὁ πόλεμος. ἄλλος, παρὰ τὴν ἔλλειψιν τοῦ πότε, καὶ πῶς· οἷον ὅτι δικαίως Ἀλέξανδρος ἔλαβε τὴν Ἑλένην. αἵρεσις γὰρ αὐτῇ ἐδόθη παρὰ τοῦ πατρός· οὐ γὰρ ἀεὶ ἴσως, ἀλλὰ τὸ πρῶτον· καὶ γὰρ ὁ πατὴρ μέχρι τούτου κύριος· ἢ εἴ τις φαίη τὸ τύπτειν τοὺς ἐλευθέρους, ὕβριν εἶναι· οὐ γὰρ πάντως, ἀλλ᾽ ὅταν ἄρχῃ χειρῶν ἀδίκων. ἔτι ὥσπερ ἐν τοῖς ἐριστικοῖς, παρὰ τὸ ἁπλῶς, καὶ μὴ ἁπλῶς, ἀλλά τι γίγνεται φαινόμενος συλλογισμός· οἷον ἐν μὲν τοῖς διαλεκτικοῖς, ὅτι ἐστὶ τὸ μὴ ὄν, ὄν· ἔστι γὰρ τὸ μὴ ὄν, μὴ ὄν· καὶ ὅτι ἐπιστητὸν τὸ ἄγνωστον· ἔστι γὰρ ἐπιστητὸν τὸ ἄγνωστον, ὅτι ἄγνωστον. οὕτω καὶ ἐν τοῖς ῥητορικοῖς, ἐστὶ φαινόμενον ἐνθύμημα παρὰ τὸ μὴ ἁπλῶς εἰκός, ἀλλά τι εἰκός. ἔστι δὲ τοῦτο οὐ καθόλου, ὥσπερ καὶ Ἀγάθων λέγει.

Τάχ᾽ ἄν τις εἰκὸς αὐτὸ τοῦτ᾽ εἶναι λέγοι
Βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

γίγνεται γὰρ τὸ παρὰ τὸ εἰκός, ὥστε εἰκὸς καὶ τὸ παρὰ τὸ εἰκός· εἰ δὲ τοῦτο, ἔσται τὸ μὴ εἰκός, εἰκός. ἀλλ᾽ οὐχ ἁπλῶς, ἀλλ᾽ ὥσπερ καὶ ἐπὶ τῶν ἐριστικῶν, τὸ κατά τι καὶ πρός τι, καὶ πῇ, οὐ προστιθέμενα, ποιεῖ συκοφαντίαν, καὶ ἐνταῦθα παρὰ τὸ εἰκὸς εἶναι μὴ ἁπλῶς, ἀλλά τι εἰκός. ἔστι δ᾽ ἐκ τούτου τοῦ τόπου ἡ Κόρακος τέχνη συγκειμένη· ἄν τε γὰρ μὴ ἔνοχος ᾖ τῇ αἰτίᾳ, οἷον ἀσθενὴς ὤν, αἰκίαν φεύγει· οὐ γὰρ εἰκός· κἂν ἔνοχος ὤν, οἷον ἰσχυρὸς ὤν· οὐ γὰρ εἰκός, ὅτι εἰκὸς ἔμελλε δόξειν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἢ γὰρ ἔνοχον ἀνάγκη, ἢ μὴ ἔνοχον εἶναι τῇ αἰτίᾳ. φαίνεται μὲν οὖν ἀμφότερα εἰκότα. ἔστι δὲ τὸ μὲν, εἰκός· τὸ δὲ οὐχ ἁπλῶς, ἀλλ᾽ ὥσπερ εἴρηται· καὶ τὸ, τὸν ἥττω δὲ λόγον κρείττω ποιεῖν, τοῦτ᾽ ἐστί. καὶ ἐντεῦθεν δικαίως ἐδυσχέραινον οἱ ἄνθρωποι

A Simile verò etiam, quia in templis mendici & cantant, & ſaltant, & quia exulibus licet habitare vbi velint. Quod enim iis qui videntur eſſe felices, inſunt hęc, etiam ij, quibus inſunt hæc, videbuntur felices eſſe. Differt autem, quomodo. Quamobrem & in defectionem cadit. Alius à non cauſſa quaſi cauſa, vt eo quod ſimul, aut poſtea factum ſit, quod enim euenit poſtea, quaſi propterea euenerit, accipiunt. & maximè qui Reſp. tractant. vt Demades

B Demoſthenis adminiſtrationem publicam omnium malorum cauſſam fuiſſe: poſtea enim accidit bellum. Alius, cùm deficit Quando, & Quomodo, vt iuſtè Alexandrum abduxiſſe Helenam, quia optio ipſi data eſt à patre. non enim ſemper fortaſſe: ſed primùm. etenim pater vſque eò fuit dominus. Aut, ſi quis dicat, pulſare homines liberos, contumeliam eſſe. non enim omnino, ſed quando prior laceſſi-

C uit iniuria. Præterea vt in contentioſis ab eo, quod eſt ſimpliciter, & eo, quod non ſimpliciter, fit apparens ſyllogiſmus, ſed quidam, quemadmodum in Dialecticis, Eſſe, quod non eſt, quia id, quod non eſt, eſt id, quod non eſt. & quod cognoſci non poteſt, ſciri poſſe: quia quod cognoſci non poteſt, ſciri poteſt, id cognoſci non poſſe: ſic etiam in Rhetoricis eſt apparens enthymema ab eo, quod non

D ſimpliciter veriſimile eſt, ſed quoddam veriſimile. Atque hoc non vniuersè, vt & Agathon dicit. Fortaſſe aliquis veriſimile id ipſum eſſe dixerit, mortalibus multa euenire non veriſimilia. Fit enim id, quod eſt præter veriſimile. Quare veriſimile etiam eſt, quod præter veriſimile eſt. Quòd ſi hoc verum eſt, quod non eſt veriſimile, erit veriſimile, ſed non ſimpliciter, verùm vt in contentioſis, cùm qua ex

E parte, & qua relatione, & vbi non additur, id efficit fallaciam: ita hîc præter veriſimile eſſe, non ſimpliciter, ſed quoddam veriſimile eſt. Ex hoc autem loco eſt Coracis ars compoſita: ſiue enim non obnoxius ſit culpæ, vt qui debilis eſt de verberatione paratam defenſionem habet. non enim eſt veriſimile: ſiue obnoxius, vt qui robuſtus eſt: non enim eſt ve-

F riſimile, quia veriſimile futurum erat vt videretur. Similiter verò etiam in aliis. aut enim obnoxium eſſe, neceſſe eſt, aut non obnoxium culpæ. Ac apparent quidem ambo veriſimilia. verùm illud quidem eſt veriſimile: hoc verò non ſimpliciter: ſed vt dictum eſt. Et hoc eſt inferiorem cauſſam ſuperiorem facere. Atque hinc meritò moleſtè ferebant homines